UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

Demosthenes

Aureliae Allobrogum, 1607

Adversus Boeotum de nomine

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

ταῦτα ἀποδῶτε, σιωπᾶν ἐστὲ δίκαιοι, καὶ μὴ κατηγορεῖν, καὶ ἔχειν, ἔσχατον γὰρ δὴ πραγμάτων τοῦτό γε. τάχα τοίνυν καὶ τριηραρχίας ἐροῦσι, καὶ τὰ ὄντα ὡς ἀνηλώκασιν εἰς ὑμᾶς. ἐγὼ δ' ὅτι μὲν ψεύσονται, καὶ τὰ πολλὰ ἀπολωλεκότες τῶν ὄντων αὐτοῖς μικρὰ τῆς πόλεως μετειληφυίας, οὐ δικαίαν οὐδὲ γιγνομένην χάριν ἀξιώσουσι κομίζεσθαι παρ' ὑμῶν, ἐάσω. ἀξιῶ δὲ καὶ αὐτός, ὦ ἄνδρες δικασταί, εἶναι τοῖς λειτουργοῦσιν ἡμῖν ἅπασιν χάριν τινὰ ὑπάρχουσαν παρ' ὑμῶν. τίσι δὲ μεγίστην; τοῖς, ὃ μὲν χρήσιμον τῇ πόλει τοῦ πράγματός ἐστι, ποιοῦσιν· ὃ δ' αἰσχρὸν ἂν ἅπαντες εἶναι φήσαιεν καὶ ὄνειδος, μὴ κατασκευάζουσιν. οἱ μὲν τοίνυν μετὰ τοῦ λειτουργεῖν τὰ σφέτερα αὐτῶν διεφθαρκότες, τὴν βλασφημίαν ἀντὶ τῆς χρείας τῇ πόλει καταλείπουσιν. οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ κατηγόρησε πώποτε· ἀλλ' ὡς ἡ πόλις τὰ ὄντα ἀφαιρεῖται, λέγει. οἱ δ' ὅσα μὲν προστάττετε ὑμεῖς, ποιοῦντες προθύμως, τῇ περὶ τὰ ἄλλα δὲ σωφροσύνῃ τὰ ὄντα σώζοντες, οὐ μόνον κατὰ τοῦτ' ἐκείνων πλεονεκτοῖεν ἂν εἰκότως, ὅτι γεγόνασι χρήσιμοι καὶ ἔσονται· ἀλλ' ὅτι καὶ χωρὶς ὀνείδους ταῦτα παρ' αὐτῶν ὑμῖν γίγνεται. ἡμεῖς μὲν τοίνυν τοιοῦτοι εἰς ὑμᾶς φανούμεθα ὄντες. τούτους δ' ἐάσω, μή με φῶσι κακῶς αὐτοὺς λέγειν. οὐ τοίνυν θαυμάσαιμ' ἄν, εἰ καὶ δακρύειν καὶ ἐλεεινοὺς αὐτοὺς πειρῷντο ποιεῖν. ἐγὼ δ' ἀξιῶ πρὸς ταῦτα ὑπολαμβάνειν ἅπαντας ὑμᾶς, ὅτι τῶν αἰσχρῶν ἐστι, μᾶλλον δ' οὐδὲ τῶν δικαίων τὰ ὄντα κατέδοντας, καὶ παροινοῦντας μετ' Ἀριστοκράτους καὶ Διογνήτου, καὶ τοιούτων ἀνθρώπων, καὶ* κακῶς ἀνηλωκέναι, τὰ δ' ἀλλότρια ὥστε λαβεῖν, δακρύειν νυνὶ καὶ κλάειν. ἐπ' ἐκείνοις ἐκλάετ' ἂν οἷς ἐποιεῖτε, δικαίως. νυνὶ δέ, οὐ δεῖ δακρύειν· ἀλλ' ὡς οὐκ ἀφήκατε δεικνύναι. ἢ ὡς εἰσὶν ὧν ἂν ἀφήκητε αὖθις ὑμῖν *δίκαι, ἢ ὡς τὰ λαγχάνειν ἔτι δίκαιόν ἐστι, τοῦ νόμου πέντε ἔτη τὴν προθεσμίαν δεδωκότος. ταῦτα γάρ ἐστιν ὑπὲρ ὧν οὗτοι δικάζουσιν. ἐὰν δὲ μὴ δύνωνται ταῦτα δεικνύναι, ὡς οὐ δυνήσονται, ἡμεῖς ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταί, δεησόμεθα, μὴ ἡμᾶς προέσθαι τούτοις, μηδὲ τετάρτην οὐσίαν ἔτι δοῦναι τοῖς ἑτέρας κακῶς διῳκηκόσιν· ἣν παρ' ἑκόντων ἔλαβον τῶν ἐπιτρόπων· ἣν ὑπὲρ τῶν δικῶν εἰσεπράξαντο· ἣν πρώην ἀφείλοντο Αἰσίου, δίκην ἑλόντες· ἀλλ' ἡμᾶς τὰ ἡμέτερα, ὥσπερ ἐστὶ δίκαιον, ἐᾶν ἔχειν· ἃ καὶ ὑμῖν ἐστιν ἐν ὠφελείᾳ μείζονι παρ' ἡμῖν ὄντα, ἢ παρὰ τούτοις. καὶ δικαιότερον δήπου τὰ ἡμέτερα ἡμᾶς ἐστιν ἔχειν, ἢ τούτους. οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν. οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. ἐξέρα τὸ ὕδωρ.

A pecuniam exegiſtis: priuſquam eãdem reddideritis, tacere vos æquum eſt: & non accuſare pariter & tenere. Nam ea eſſet ſumma iniquitas. Fortaſſis autem & inſtructas à ſe triremes prædicabunt, & ſuas opes in vos erogatas. Ego verò illud omittam mentituros eſſe eos, & cùm pleraque ſua bona perdiderint, paucorúmque reſpublica partem cœperit: eos iniuſtam & indebitam gratiam à vobis repetituros. Nam & ipſe poſtulo, Iudices, vt omnibus nobis, qui bene meremur de republica, gratia quędam à vobis habeatur. quibus verò maxima? illi nimirum, qui quicquid in ea re publicè prodeſt, faciũt. id verò quod turpe eſſe omnes dicant, & indecorum, non ſuſcipiunt. Qui autem ſimul & publica munera obeunt, & ſuam rem familiarem perdunt: opprobrium reipublicæ beneficij loco relinquunt. Nemo enim ipſe ſeſe vnquam accuſauit: ſed publicè opes ſibi ereptas eſſe dictitãt. Qui verò & quæ vos iubetis, omnia ſtrenuè exequũtur: & ſua cæteris in rebus frugalitate rem domeſti- B cam tuentur, non eo nomine duntaxat illis præferẽdi ſunt, quod ſeſe vtiles & præbuerunt, & præbebũt: ſed quod etiam ſine contumelia vobis ea præſtant. Nos autem tales in vos extitiſſe conſtabit: iſtos verò miſſos faciam, ne ſibi maledici querantur. Neq; mirabor, ſi & flere, & ſe miſerabiles facere conabũtur. Ego verò aduerſus iſta, vos omnes ſic exiſtimare velim: turpe eſſe, ac potius iniuſtum, eos qui helluando & cum Ariſtocrate, Diogneto & eius generis hominibus debacchando, ſua malè perdiderunt: nunc vt aliena rapiant. plorare & lamentari. Illa vobis deploranda erant, quæ factitabatis. nunc verò lacrymandum non eſt: ſed vos non tranſegiſſe oſtendam, aut vobis rurſus actionem eſſe earum rerum quas tranſegiſtis: aut adhuc eſſe iuſtum ſortiri iudicium, cùm ex quinquennium præfinierit. Hæc enim ſunt, de quib. hi iudicant. Si verò hæc oſtendere non potuerunt, ſicut non poterunt: nos, omnes vos precabimur, Iudices, ne nos iſtis condonetis, néve quartum eis patrimonium detis, cùm alia tria malè adminiſtrarint: Vnum, quod à tutoribus cum bona gratia acceperũt: C alterum, quod propter actionem extorſerunt: tertiũ, quod nuper eripuerunt Aeſio, iudicio victo: ſed nos, vt æquum eſt, noſtra tenere patiamini. Quæ vobis etiam, dum penes nos fuerint, vtiliora erunt, quàm ſi penes iſtos ſint: & iuſtius profectò eſt, nos noſtra tenere, quàm iſtos. Non video, plura dicere quorſum attineat. Arbitror enim vos nihil eorum ignorare quæ diximus. Exime aquam.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΒΟΙΩΤΟΝ περὶ τοῦ ὀνόματος λόγου.

Μαντίας εἷς τῶν πολιτευσαμένων Ἀθήνησι, γήμας γυναῖκα κατὰ τοὺς νόμους, ἐκ ταύτης παῖδα ἐκτήσατο τὸν νυνὶ δικαζόμενον. προσῄει δέ τινι Πλαγγόνι κατ' ἐρωτικὴν ἐπιθυμίαν, Ἀττικῇ γυναικί. ταύτης δύο υἱεῖς ἀνδρωθέντες ἐδικάζοντο τῷ Μαντίᾳ, ἑαυτῶν εἶναι πατέρα φάσκοντες. ὁ δ' ἀντέλεγεν. ἔπειτα ἀναλαμβάνει τοὺς παῖδας ἀναγκασθεὶς ὑπὸ ἰδίας προκλήσεως, ἣν ἀπατηθεὶς ἐποιήσατο. προυκαλέσατο μὲν γὰρ τὴν Πλαγγόνα, ὀμόσαι περὶ τῶν παίδων, εἰ ὄντως εἰσὶν ἐξ αὐτοῦ, ὑποσχόμενος εἰ ὀμόσειεν, ἐμμένειν τῷ ὅρκῳ. προυκαλέσατο δὲ ἀπατηθεὶς ὡς οὐ δεξομένης τὸν ὅρκον τῆς γυναικός. ὑπὲρ τούτου γὰρ καὶ μισθὸν αὐτῇ συχνὸν ἐπηγγείλατο, ὡς δὲ φησὶν ὁ τὸν λόγον, καὶ ὀμωμόκει ἡ Πλαγγὼν αὐτῷ λάθρα, προτεινομένου τὸν ὅρκον μὴ δέξασθαι. προκαλεσαμένου τοίνυν, παραβᾶσα τὰς συνθήκας, δέχεται τὸν ὅρκον. καὶ οὕτως μὲν ἀναγκάζεται τοὺς παῖδας ἀναλαβεῖν, μετὰ δὲ τοῦτο τετελεύτηκεν. ὁ τοίνυν ἐκ τῆς νόμῳ γαμηθείσης γυναικὸς

ARGVMENTVM ORATIONIS ADuerſus Bœotum, de nomine.

MAntias vnus ex iis qui Athenis in magiſtratu fuerunt, è legitima vxore filium ſuſcepit, eum qui nunc litigat. Cõſuetudinem autẽ habuerat cum quadam Plangone, amoris ductus illecebris Attica muliere. Huius duo filij adulti, Mãtia in ius vocãt, ſuũ eſſe patrẽ dictitãtes. Is verò negat. Deĩ agnoſcit eos filios, ſua ipſius prouocatione coactus & deceptus. Cum .n. Plangonẽ iurare de filiis iuſſiſſet, an reuera ex ipſo eſsẽt nati, & pollicitus eſſet ſi iuraſſet, ſe iuſiurandum ratum habiturum: eo deceptus eſt, quòd mulierem nõ iuraturam putabat. Nã ea de cauſa, magnũ ei præmiũ promiſerat: atque, vt is ait qui cauſam hãc dicit, clã ei iurarat Plãgo. ſe delatũ iuſiurandũ recuſaturã. At illa, quũ is eam prouocatione laceſſeret, violata pactione, iurat. ſic ille filios agnoſcere coactus, pòſt moritur. Filius igitur legitimæ vxoris, alterum a-

adoptiuorum de nomine in ius vocat, aſſerens, eum Bœotum eſſe nominandum, ſicut initiò fuerit nominatus, & non Mantitheum. Illud enim ei nomē à patre fuiſſe ab initio inditum. Prima fronte igitur, homo curioſus eſſe & amans litium videatur, qui de nomine rixetur: ſed in oratione tamē argumēta ſatis multa aſſeruntur, cur & publicè & priuatim incommoda ſit nominis ſimilitudo.

A πῶς δικάζεται τῷ ἑτέρῳ τῶν εἰσποιηθέντων περὶ ὀνόματος, λέγων αὐτὸν βοιωτὸν καλεῖσθαι προσήκειν, ὅπερ ἐξ ἀρχῆς ὠνομάζετο, καὶ μὴ μαντίθεον. τοῦτο γὰρ αὐτῷ παρὰ τοῦ πατρὸς ἐξ ἀρχῆς τεθεῖσθαι τοὔνομα. αὐτόθεν μὲν οὖν δόξειεν ἄν τις φιλοπράγμων εἶναι καὶ φιλόνεικος, περὶ προσηγορίας διαφερόμενος. ὁ μέντοι λόγος ἱκανὰς ἀποδείξεις παρέχεται, ὡς καὶ δημόσια καὶ ἰδίᾳ βλαβερὰν εἶναι τὴν ὁμωνυμίαν.

DEMOSTHENIS ORATIO ADVERSVS BOEOTVM de nomine, Hieronymo Vvolfio interprete.

Se neceſſariò hanc actionē inſtituiſſe.

NVLLA curioſitate, rixandive ſtudio teſtor deos, Iudices, actionem hanc contra Bœotum inſtitui (quàuis non ignorarem, multos fore, quibus ineptum videretur, me propterea in ius aliquem vocare quòd eodem ſe nomine, quo ego me, appellandum cenſeret) ſed quòd neceſſarium fuiſſet, ob ea quæ euentura erant, niſi id præcauiſſem, apud vos diſceptare. Quòd ſi iſte ſe alterius cuiuſdam eſſe patris diceret: non meiiurè videri ineptus potuiſſem, qui curarem, quocunque iſti ſe appellare nomine libuiſſet. Nunc in ius vocato patre meo, aſcitóque ſibi calumniatorum ſodalitio, Mneſicle quem fortè noſtis omnes & Menecle illo, qui Ninum ream peregit, & eius generis aliis, eum accuſauit: cùm filium eius eſſe ſe, à Pamphili filia, & iniquè ſecum agi diceret, qui patria ſpoliaretur. Pater autem (omnis dicetur veritas, Iudices) ſimul veritus venire in iudicium, ne quis, vt à verſato in republica alibi vſpiam offenſus, ibi in ſe incurſaret: ſimul deceptus à matre iſtius, quæ certam ſtipulata pecuniam, iurarat, ſe delato ſibi iureiurando, ea de re non iuraturam: iiſque factis, nullam inter ipſos amplius fore controuerſiam, hac conditione iuſiurandum ei defert. Quo illa accepto, non modò iſtum: ſed vnà cū eo etiam alterum, iurauit, è patre meo eſſe genitum. Quo facto, illi neceſſe fuit iſtos ad curiales introducere: neque vlla reliqua fuit excuſatio: introduxit, adoptauit (vt quæ interceſſerunt reſecem) in album inſcripſit Apaturiis, iſtum apud Curiales Bœotum, alterum autem Pamphilum. Ego verò Mantitheus inſcriptus eram. Cum verò ſic accidiſſet, vt pater, antequam in municipium aſcripti eſſent, moreretur: iſte ad municipes venit, & pro Bœoto ſe Mantitheum inſcribit. Quod, quantum incommodet, primùm mihi, deinde vobis etiam: ego docebo, vbi eorum quæ dico, teſtes produxero.

TESTES.

Idem nomen in repub. quid incommodet.

Quem igitur admodum nos pater inſcripſerit, è teſtib. audiuiſtis. Me aūt, quod iſte violádū ius ſibi ducit, actionem hanc inſtituiſſe neceſſariò: id iam oſtēdam. Ego enim nō profectò homo ſū adeò ſtupidus, aut incogitās, vt cūm patrimonij, quod omne fiebat meū, poſtquā iſtos adoptarat pater, tertiam auferre partē cōceſſerim, in eáque re acquieſcā: de nomine litē intēderē: niſi mutatio nominis & mihi magnam ignominiam pareret, ignauiæq; probrum: & idē iſtū habere nomē, propter multa ferri nō poſſet. Primù n enim, ſi publica priuatis anteferēda ſunt, quo nobis reſpublica mandabit modo, ſi quid erit obeundum? Num ita decernent tribules, vt de aliis? Proinde Mātitheū, Mantiæ filium Thoricium me decernēt, ſi ædilem, aut gymnaſiarchum, aut cōuiuatorē, aut aliud quippiam reliquorum munerum, decreuerint. qua autem re diſcernetur, méne an te decreuerint? Tu enim me dices: ego te. iam verò nos prætor vocat, aut

ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΒΟΙΩΤΟΝ ΠΕΡΙ τοῦ ὀνόματος λόγος.

ΟΥδεμιᾷ φιλοπραγμοσύνῃ, μὰ τοὺς θεούς, ὦ ἄνδρες δικασταί, τὴν δίκην ἔλαχον ταυτηνὶ βοιωτῷ. οὐδὲ ἠγνόουν ὅτι πολλοῖς ἄτοπον δόξει τὸ δίκην με λαγχάνειν, εἴ τις ἐμοὶ ταὐτὸν ὄνομα οἴεται δεῖν ἔχειν· ἀλλ' ἀναγκαῖον ἦν ἐκ τῶν συμβησομένων, εἰ μὴ τοῦτο διορθώσομαι, ἐν ὑμῖν κριθῆναι. B εἰ μὲν οὖν ἑτέρου τινὸς οὗτος ἔφη πατρὸς εἶναι, ὁ μὴ τοὐμοῦ, περίεργος ἂν εἰκότως ἐδόκουν εἶναι, φροντίζων ὅτι βούλεται καλεῖν αὐτὸς ἑαυτόν. νῦν δὲ λαχὼν δίκην τῷ πατρὶ τῷ ἐμῷ, καὶ μεθ' ἑαυτοῦ κατασκευάσας ἐργαστήριον συκοφαντῶν, μνησικλέα τε ὃν ἴσως γιγνώσκετε πάντες, καὶ μενεκλέα τὸν τὴν νῖνον ἑλόντα ἐκεῖνον, καὶ τοιούτους τινάς, ἐδικάζεθ', υἱὸς εἶναι φάσκων, ἐκ τῆς παμφίλου θυγατρός, καὶ δεινὰ πάσχειν, καὶ τῆς πατρίδος ἀποστερεῖσθαι. ὁ πατὴρ δὲ (πᾶσα γὰρ εἰρήσεται ἡ ἀλήθεια, ὦ ἄνδρες δικασταί) ἅμα μὲν φοβούμενος εἰς τὸ δικαστήριον εἰσιέναι, μή τις, οἷον εἰκός, ὑπὸ πολιτευομένου ἑτέρωθί που λελυπημένος, ἐνταυθοῖ ἀπαντήσειεν αὐτῷ· ἅμα δὲ ἐξαπατηθεὶς ὑπὸ τῆς τουτουὶ μητρός, ὀμοσάσης αὐτῆς ἦ μήν, ἐὰν ὅρκον αὐτῇ διδῷ περὶ τούτων, μὴ ὀμεῖσθαι· τούτων δὲ πραχθέντων μηδὲν ἔτι ἔσεσθαι αὐτοῖς· καὶ μεσεγγυησαμένης ἀργύριον ἐπὶ τούτοις δίδωσι τὸν ὅρκον. ἡ δὲ δεξαμένη, οὐ μόνον τοῦτον, ἀλλὰ καὶ τὸν ἀδελφὸν τὸν ἕτερον, πρὸς τούτῳ, κατωμόσατο ἐκ τοῦ πατρὸς εἶναι τοῦ ἐμοῦ. C ὡς δὲ τοῦτ' ἐποίησεν, εἰσάγειν εἰς τοὺς φράτορας ἦν ἀνάγκη τούτους, καὶ λόγος οὐδεὶς ὑπελείπετο. εἰσήγαγεν, ἐποιήσατο, ἵνα τὰν μέσῳ συντέμω, ἐνέγραψε τοῖς ἀπατουρίοις τουτονὶ μὲν βοιωτὸν εἰς τοὺς φράτερας, τὸν δ' ἕτερον, πάμφιλον. μαντίθεος δ' ἐνεγεγράμμην ἐγώ. συμβάσης δὲ τῷ πατρὶ τῆς τελευτῆς, πρὶν τὰς εἰς τοὺς δημότας ἐγγραφὰς γενέσθαι, ἐλθὼν εἰς τοὺς δημότας οὑτοσὶ ἀντὶ βοιωτοῦ μαντίθεον ἐνέγραψεν αὑτόν. τοῦτο δ' ὅσα βλάπτει ποιῶν, πρῶτον μὲν ἐμέ, εἶτα καὶ ὑμᾶς, ἐγὼ διδάξω, ἐπειδὰν ὧν λέγω, παράσχωμαι μάρτυρας.

Μάρτυρες.

Ον μὲν τοίνυν τρόπον ἡμᾶς ἐνέγραψεν ὁ πατήρ, ἀκηκόατε τῶν μαρτύρων. ὅτι δ' οὐκ οἰόμενος τοῦτον* δεῖν ἐμμένειν τοῖς δικαίοις, καὶ ἀναγκαίως ἔλαχον τὴν δίκην, τοῦτ' ἤδη δείξω. ἐγὼ γὰρ οὐχ οὕτω δήπου σκαιός εἰμι ἄνθρωπος, οὐδ' ἀλόγιστος, ὥστε τῶν μὲν πατρῴων ἃ πάντα ἐμὰ ἐγίγνετο, ἐπειδήπερ ἐποιήσατο τούτους ὁ πατήρ, συγκεχωρηκέναι τὸ τρίτον νείμασθαι μέρος, καὶ στέργειν ἐπὶ τούτῳ· περὶ δ' ὀνόματος ζυγομαχεῖν, εἰ μὴ, τὸ μὲν ἡμᾶς μεταθέσθαι μεγάλην ἀτιμίαν ἔφερε καὶ ἀνανδρίαν. τὸ δὲ ταὐτὸν ἔχειν τοῦτον ἡμῖν ὄνομα, διὰ πολλὰ ἀδύνατον ἦν. πρῶτον μὲν γάρ, εἰ δεῖ τὰ κοινὰ τῶν ἰδίων εἰπεῖν πρότερον, τίν' ἡμῖν ἡ πόλις ἐπιτάξει τρόπον, ἄν τι δέῃ ποιεῖν, ἢ οἴσουσι νὴ Δία οἱ φυλέται τὸν αὐτὸν τρόπον ὅνπερ καὶ τοὺς ἄλλους. οὐκοῦν μαντίθεον μαντίου θορίκιον οἴσουσι με, ἂν χορηγόν, ἢ γυμνασίαρχον, ἢ ἑστιάτορα, ἢ ἄλλο τι τῶν ἄλλων φέρωσι. τῷ δῆλον οὖν ἔσται, πότερον σε φέρουσιν ἢ ἐμέ; σὺ μὲν γὰρ φήσεις ἐμέ, ἐγὼ δὲ σέ. καὶ δὴ καλεῖ μετὰ ταῦθ' ὁ ἄρχων, ἢ

πρὸς

πρὸς ὅντινα ἂν ᾖ ἡ δίκη, οὐχ ὑπακουόμεθα, οὐ λειτουργοῦμεν. πότερος οὖν τῶν ἐκ τῶν νόμων ἔσται ζημίαις ἔνοχος; τίνα δ' οἱ στρατηγοὶ τρόπον ἐγγράψουσιν, ἐὰν εἰς συμμορίαν ἐγγράφωσιν, ἢ ἐὰν τριήραρχον καθιστῶσιν, ἢ ἂν στρατεία τις ᾖ; τῷ δῆλον ἔσται, πότερος ἐσθ' ὁ κατειλεγμένος; τί δ' ἂν ἄλλη τις ἀρχὴ καθιστῇ* λειτουργεῖν· οἷον ἄρχων, βασιλεύς, ἀθλοθέται; τί σημεῖον ἔσται, πότερον καθιστᾶσι; προσπαραγράψουσι νὴ Δία τὸν ἐκ Πλαγγόνος, ἐὰν σὲ ἐγγράφωσιν· ἐὰν δ' ἐμέ, τῆς ἐμῆς μητρὸς τοὔνομα; καὶ τίς ἤκουσε πώποτε; ἢ κατὰ ποῖον νόμον προσπαραγράφοιτ' ἂν τοῦτο τὸ παράγραμμα, ἢ ἄλλο τι, πλὴν ὁ πατὴρ καὶ ὁ δῆμος; ὧν ὄντων ἀμφοῖν τῶν αὐτῶν, πολλὴ ταραχὴ συμβαίνει. φέρε· εἰ δὲ δὴ κριτὴς καλοῖτο Μαντίθεος Μαντίου Θορίκιος, τί ἂν ποιοῖμεν; ἢ βαδίζοιμεν ἂν ἄμφω; τῷ γὰρ ἔσται δῆλον, πότερον σὲ κέκληκεν ἢ ἐμέ; πρὸς Διὸς ἐὰν δ' ἀρχὴν ἡντινοῦν ἡ πόλις κληροῖ, οἷον βουλῆς, θεσμοθέτου, τῶν ἄλλων, τῷ δῆλος ὁ λαχὼν ἡμῶν ἔσται; πλὴν εἰ μὴ σημεῖον* ὥσπερ ἄλλῳ τινὶ τῷ χαλκείῳ προσέσται. καὶ οὐδὲ τοῦθ' ὁποτέρου ἐστὶν οἱ πολλοὶ γνώσονται. ἀλλ' οὐ σὺ μὲν σεαυτὸν, ἐγὼ δ' ἐμαυτὸν φήσω τὸν εἰληχότα εἶναι, λοιπὸν εἰς τὸ δικαστήριον ἡμᾶς εἰσιέναι. οὐκοῦν ἐφ' ἑκάστῳ τούτων δικαστήριον ἡμῖν ἡ πόλις καθιεῖ; καὶ τοῦ μὲν κοινοῦ καὶ ἴσου τοῦ λαχόντ' ἄρχειν ἀποστερησόμεθα· ἀλλήλους δὲ πλυνοῦμεν, καὶ ὁ τῷ λόγῳ κρατήσας ἄρξει. καὶ πότερ' ἂν βέλτιον εἴη μᾶλλον, τῶν ὑπαρχουσῶν δυσκολιῶν ἀπαλλαττομένους, ἢ κοινὰς ἔχθρας καὶ βλασφημίας ποιουμένους; ἃς πᾶσα ἀνάγκη συμβαίνειν ὅταν ἀρχῆς, ἢ τινος ἄλλου πρὸς ἡμᾶς αὐτοὺς ἀμφισβητῶμεν. τί δὲ, ἂν ἄρα (δεῖ γὰρ ἅπαντ' ἡμᾶς ἐξετάσαι) ἕτερος ἡμῶν πείσας τὸν ἕτερον, ἐὰν λάχῃ, παραδοῦναι αὐτῷ τὴν ἀρχήν, οὕτω κληρῶται; τὸ δυοῖν πινακίοιν τὸν ἕνα κληροῦσθαι, τί ἄλλο ἐστίν; εἶτ' ἐφ' ᾧ θάνατον ζημίαν ὁ νόμος λέγει, τοῦθ' ἡμῖν ἀδεῶς ἐξέσται πράττειν; πάνυ γε· οὐ γὰρ ἂν αὐτὸ ποιήσαιμεν; οἶδα κἀγώ, τό γ' οὖν κατ' ἐμέ, ἀλλ' οὐδ' αἰτίαν τοιαύτης ζημίας* ἐνίοις ἔχειν καλόν, ἐξὸν μή. εἶεν. ἀλλὰ ταῦτα μὲν ἡ πόλις βλάπτεται. ἐγὼ δ' ἰδίᾳ, τί; θεάσασθε ἡλίκα, καὶ σκοπεῖτε ἄν τι δοκῶ λέγειν. πολὺ γὰρ χαλεπώτερα ταῦτα ὧν ἀκηκόατ' ἐστίν. ὁρᾶτε μὲν γὰρ ἅπαντες αὐτὸν χρώμενον, ἕως μὲν ἔζη, Μενεκλεῖ, καὶ τοῖς περὶ ἐκεῖνον ἀνθρώποις· νῦν δ' ἑτέροις οὐδὲν ἐκείνου βελτίοσι, καὶ τὰ τοιαῦτ' ἐζηλωκότα, καὶ δεινὸν δοκεῖν εἶναι βουλόμενον, καὶ νὴ Δία ἴσως ἐστίν. ἐὰν οὖν προϊόντος τοῦ χρόνου τῶν αὐτῶν τι ποιεῖν τούτοις ἐπιχειρῇ (ἔστι δὲ ταῦτα γραφαί, φάσεις, ἐνδείξεις, ἀπαγωγαί) εἶτ' ἐπὶ τούτων τινὶ (πολλὰ γάρ ἐστι τἀνθρώπινα· καὶ τοὺς πάνυ δεινοὺς ἑκάστοτε ὅταν πλεονάζωσιν, ἐπίστασθ' ὑμεῖς κοσμίους ποιεῖν) ἐὰν ὄφλῃ τῷ δημοσίῳ, τί μᾶλλον οὗτος ἐγγεγραμμένος ἔσται ἐμοῦ; ὅτι νὴ Δία εἴσονται πάντες πότερός ποτε ὦφλεν; καλῶς. ἐὰν δὲ (ὃ τύχοι γένοιτ' ἂν) χρόνος διέλθῃ, καὶ μὴ ἐκτεισθῇ τὸ ὄφλημα, τί μᾶλλον οἱ τούτου παῖδες ἔσονται τῶν ἐμῶν ἐγγεγραμμένοι, ὅταν τοὔνομα καὶ ὁ πατὴρ, καὶ ἡ φυλή, καὶ πάντα ᾖ ταὐτά; τί δ' εἴ τις δίκην ἐξούλης αὐτῷ λαχών, μηδὲν ἐμοὶ φαίη πρὸς αὐτὸν εἶναι; κυρίαν δὲ ποιησάμενος ἐγγεγράφθαι, τί μᾶλλον ἂν εἴη τοῦτον ἢ ἐμὲ ἐγγεγραφώς; τί δ' εἴ τινας εἰσφορὰς μὴ θείη; τί δ' εἴ τις ἄλλη περὶ τοὔνομα γίγνοιτο, ἢ δίκη, ἢ δόξα ὅλως ἀηδής; τίς εἴσεται τῶν πολλῶν, πότερός ποτε οὗτός ἐστι, δυοῖν Μαντιθέοιν ταὐτοῦ πατρὸς ὄντοιν; φέρε δ' εἰ δίκην ἀστρατείας φεύγοι, χορεύοι δὲ ὅταν στρατεύεσθαι δέῃ; καὶ γὰρ νῦν ὅτε εἰς Ταμύνας παρῆλθον οἱ ἄλλοι, ἐνθάδε τοὺς χόας ἄγων ἀπελείφθη, καὶ τοῖς Διονυσίοις καταμείνας ἐχόρευεν, ὡς ἅπαντες ἑωρᾶτε οἱ ἐπιδημοῦντες. ἀπελθόντων δ' ἐξ Εὐβοίας τῶν στρατιωτῶν λειποταξίου

A alius apud quem cauſa eſt agenda: nõ præſtò ſumus, nõ obimus mandata munera: vter igitur legum pœnis tenebitur? Quo aũt pacto imperatores inſcribẽt, ſi in claſſem inſcribent, aut ſi triremi præfectũ cõſtituẽt, aut ſi qua erit expeditio? quî cognoſcetur, vter ſit delectus? Quid ſi quis alius magiſtratus mãdarit munus publicũ, vt prætor, rex ſacrificulus, præfecti ludorum: quæ nota erit, vtri mandarint? aſcribẽt nimirũ, illum è Plãgone natũ ſi te inſcripſerint: ſin me, matris nomen adiiciẽt? Ecquis vnquã audiuit? aut qua lege talis appẽdix aſcribetur, aut aliquid aliud, quàm pater & municipium? quę cum vtrinq; ſint eadẽ: magna orietur perturbatio. Age verò, ſi iudex citetur Mãtitheus Mãtiæ F. Thoricius: quid agemus? an ambulabimus vterque? Quî enim dignoſcetur, túne an ego ſim citatus? Age verò, deum imortalem, ſi publicè de quocũq; magiſtratu fiet ſortitio, vt de ſenatu, ſexuiratu, reliquis: quî diſcernetur vter noſtrũ ſit creatus? niſi fortè nota vt æneo vaſi, aut alteri cuipiã

B rei adiiciatur. ac ne ea quidẽ vtrius ſit, vulgus agnoſcet. Proinde ego me creatũ cõtẽdã: tu verò te. Reliquũ erit: vt nos in iudiciũ veniamus. Propter igitur ſingula hui[9] generis ciuitas iudiciũ nobis cõuocabit? Ac eo quidẽ ꝙ par & æquũ eſt, vt is cuius ſors exierit, magiſtratu fũgatur, fraudabimur: alter aũt alterũ verbis inſectabimur: & is imperabit, qui fuerit oratione ſuperior. Vtrum verò magis nobis expediet? hiſce difficultatibus liberari? an mutuis odiis, aut maledictis nos inuicẽ proſequi? quæ omnino exiſtere neceſſe eſt, cũ inter nos cõtẽtio de magiſtratu, aut ſimili re orietur. Quid verò, ſi fortè (nã omnia perquirẽda ſunt) alteruter noſtrûm alteri perſuaſerit, vt ipſe creatus alteri magiſtratũ tradat, atque ita ſortiatur? Vnum duabus ſortiri tabellis quid eſt aliud? Itáne quod legib. extremo ſupplicio mulctatur, id impunè licebit nobis? Omnino. At id nõ faciemus? Noui & ego, ꝙ ad me quidẽ attinet. Sed ne ſuſpectos quidem aut reos fieri talis mulctæ aliquos, bonũ eſt, ſi cauere liceat. Eſto, ſed hæc publicè nocent. Mihi verò priuatim quid incõmodãt? Spectate quantum, & cõſidera-

Priuatã iuſdẽ nominis incommoda.

C te an mihi cauſa eſſe videatur. Nam hæc lõgè iis quę audiſtis grauiora ſunt. Vidiſtis oẽs iſtum Menecle, dum is viueret, & illius gregalib. vti familiariter: nũc verò aliis nihil illo meliorib. & talia ſtudio habere, & eloquentem videri velle. & eſt fortaſſe, ita me amet Iupiter, eloquens. Quòd ſi progreſſu tẽporis eadem facere inſtituerit, ea verò ſunt accuſationes, indicationes, delationes, abductiones, & in eorum aliquo (multi enim ſunt humani caſus: & exercitatiſſimos quoſq; ſæp , ſi nimis inſoleſcere cœperint, vos cohercere ſcitis) publicè mulctatus fuerit: quî magis iſte inſcribetur quã ego? At ſciẽt oẽs vter ſit dãnatus? bene. Si verò (quod fortaſſe fiet) mora interceſſerit, & mulcta diſſoluta non fuerit: quî magis iſtius liberi quàm mei inſcripti erunt? Cum & nomẽ, & pater, & trib[9], eadẽ erunt omnia. Quid ſi quis actione vnde vi contra eũ inſtituta, mihi nihil ſecum eſſe rei dixerit, ſed eam ratam habitam inſcripſerit: qui magis iſtum quàm me inſcripſerit? Quid verò, ſi qua tributa nõ pepẽderit? quid ſi qua alia in nomen hoc actio inſtituatur, aut iudicium: aut rumor ſiniſter oriatur: quis ſciet è populo, vter ille ſit, cũ duo ſint Mãtithei, patre eodẽ? Age verò, ſi deſertæ militiæ accuſetur ſi cũ militãdum eſſet, ſaltet? Etenim nũc, vbi alij Tamynas ꝓfecti ſũt, iſte Choas agẽs hîc remãſit Bacchanalib. itẽ remãſit & ſaltauit, vt videbatis oẽs ꝗ aderatis. Regreſſis aũt ex Eubœa militib. vt ordinũ

deſertor citatus eſt,egóque qui meæ tribus ordines ducebam,ſum coactus contra nomen meum patriũ admittere actionem.Quòd ſi merces iudicibus numerata eſſet:introduxiſſent me,haud dubiè.Ea verò niſi conſignatis iam arculis accidiſſet,etiã teſtes vobis produxiſſem.Eſto,quid ſi peregrinitatis accuſetur?multorum aũt odia ſuſcipit:neque ignotum eſt, quo pacto eum pater adoptare ſit coactus.Vos autẽ, cũ pater eũ nõ adoptaret,matrem eius verum dicere putabatis:vbi verò ita natus,ita turbulẽtus fuerit, rurſum vobis aliquãdo videbitur ille dixiſſe verum. Quid verò,ſi ſe falſi teſtimonij conuincẽdũ putans, propter locatas ſuis gregalibus operas,vadimonium deſeruerit?Nunquid leue ducitis incommodum,Atheniẽſes,totã exigere vitã in cõmunione exiſtimationis & factorũ iſtius?An aũt ea quæ recẽſui vobis, fruſtra metuã,ſpectate.Iſte iã aliquoties publicè accuſatus eſt,Atheniẽſes:quibus reb. ego prorſus inſons,vnà in crimen vocor:& de eo magiſtratu, quẽ vos mihi decreueratis,contendit,multáque moleſta nobis propter nomẽ acciderunt:quorum,vt ſciatis, ſingulorum teſtes vobis producam.

TESTES.

Nomen Mantithei ſibi à patre factum, nõ conuenire Bœoto: à quo ſibi faceſsita negocia queritur.

Videtis,Athenienſes,quæ fiant,& huius negocij moleſtiã ſpectatis.Quòd ſi nulla ex hac re moleſtia oriretur,neque omnino fieri non poſſet,vt idem nomẽ haberemus.nũ æquum eſſet,vt iſte partem mearum facultatum per adoptionem teneret,ad quam patrẽ adegit:ego autem nomine ſpoliarer,quod mihi volens & à nemine coactus idem impoſuit? Equidem non exiſtimo.Vt autem ſciatis me à patre nõ modò apud curiales,ſic,vt à teſtibus dictum eſt, inſcriptũ eſſe:ſed decima etiã facta,nomẽ hoc mihi inditum, cape & hoc teſtimonium.

TESTIMONIVM.

Auditis,Athenienſes,nomen hoc mihi fuiſſe omni tempore:iſtum verò Bœotũ à patre,poſtquã coactus eſt,eſſe inſcriptũ apud Curiales?Libenter aũt interrogarim eũ coram vobis,niſi obiiſſet pater, quidnã egiſſes apud populares?Nõ permiſiſſes illi, vt te Bœotum inſcriberet?At abſurdum fuiſſet,ea de re iudicium adipiſci,eámque rurſus prohibere.Quòd ſi permiſiſſes:eodẽ te modo inſcripſiſſet apud populares, quo apud Curiales.Ferẽdum igitur eſt,ô dij immortales,vt eum ſuum eſſe patrem dicat:idémque irrita facere quæ is viuens egit,non dubitet? Apud arbitrum autem rem impudentiſſimam dicere fuit auſus,patrem pro ſe perinde vt pro me feciſſe decimã, ídque nomẽ ei indidiſſe:& teſtes quoſdam produxit quorũ vti cõſuetudine patrem meum nemo vnquã vidit.Ego verò neminẽ veſtrûm ignorare arbitror, neque decimam facturũ eſſe quenquam de filio,quẽ non iurè putet eſſe ſuum:neque ſi fecerit & dilexerit,vt filium diligi moris eſt,rurſus fuiſſe auſurũ inficias ire.Neque.n.tametſi matri iſtorum iratus fuiſſet,iſtos proſecutus eſſet odio,quos quidem ſuos eſſe putaſſet.Multò .n. magis ſolent maritus & vxor ortas lites propter liberos cõponere: quàm propter eas iniurias,quibus alter alterum affecit, etiã cõmunes odiſſe liberos.Neq; verò ex his ſolũ perſpici poteſt,mentiturũ eſſe iſtũ,ſi hæc dixerit:ſed priuſquam ſe noſtrum eſſe cognatũ diceret,Hippothoõtiã frequẽtabat tribũ,vt in cœtũ puerorũ reciperetur.Quis verò veſtrûm putat,matrẽ miſiſſe iſtum in eã tribũ? magnis ſanè,vt ait,affectã à patre iniuriis, quæ quidem ſciret,eum feciſſe dicimã,&rurſus ire inficias?

A προσεκλήθη. κἀγὼ ταξιαρχῶν τῆς φυλῆς ἠναγκαζόμην κατὰ τοῦ ὀνόματος τοῦ ἐμαυτοῦ πατρόθεν δέχεσθαι τὴν λῆξιν. καὶ εἰ μισθὸς ἐπορίσθη τοῖς δικαστηρίοις, εἰσῆγον ἄν με δῆλον ὅτι. ταῦτα δ᾽ εἰ μὴ σεσημασμένων ἤδη συνέβη τῶν ἐχίνων, κἂν μάρτυρας ὑμῖν παρεσχόμην. εἶεν. εἰ καὶ ξενίας προσκληθείη (πολλοῖς δὲ προσκρούει) καὶ ὃν ἠναγκάσθη τρόπον ὁ πατὴρ ποιήσασθαι αὐτὸν, οὐ λέληθεν. ὑμεῖς δ᾽ ὅτε μὲν τοῦτον οὐκ ἐποιεῖτο ὁ πατὴρ, τὴν μητέρα ἀληθῆ λέγειν ἡγεῖσθε αὐτοῦ. ἐπειδὰν δ᾽ οὕτω γεγονὼς ἔσται ὀχληρὸς ἦ, πάλιν ὑμῖν πότε δόξει ἐκεῖνος ἀληθῆ λέγειν; τί δ᾽ εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν, ἐφ᾽ οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτὸν, ἐρήμην ἐάσειε τελεσθῆναι τὴν δίκην; ἆρά γε μικρὰν ἡγεῖσθε βλάβην, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν κοινωνίᾳ τὸν ἅπαντα βίον τῆς τούτου δόξης καὶ τῶν ἔργων εἶναι; ὅτι τοίνυν οὐδ᾽ ἃ διεξελήλυθα ὑμῖν μάτην φοβοῦμαι, θεωρήσατε. ἔστι γὰρ ἤδη καὶ γραφάς τινας, ὦ ἄνδρες Ἀθηναῖοι, πέφευγεν, ἐφ᾽ αἷς οὐδὲν αἴτιος ὢν ἐγὼ συνδιαβάλλομαι. καὶ τῆς B ἀρχῆς ἠμφισβήτει, ἣν ὑμεῖς με ἐπεχειροτονήσατε· καὶ πολλὰ καὶ δυσχερῆ διὰ τὸ ὄνομα συμβέβηκεν ἡμῖν· ὧν ἵν᾽ εἰδῆτε, ἑκάστων μάρτυρας ὑμῖν παρέξομαι.

Μάρτυρες.

Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμβαίνοντα, καὶ τὴν ἀηδίαν τὴν ἐκ τοῦ πράγματος θεωρεῖτε. εἰ τοίνυν μηδὲν ἀηδὲς ἂν ἐκ τούτων, μηδ᾽ ὅλως ἀδύνατον ταυτὸν ἔχειν ὄνομα ἡμῖν συνέβαινεν· οὐ δήπου τοῦτον μὲν δίκαιον τὸ μέρος τῶν ἐμῶν χρημάτων ἔχειν κατὰ τὴν ποίησιν, ἣν ὁ πατὴρ αὐτὸν ἀναγκασθεὶς ἐποιήσατο· ἐμὲ δὲ ἀφαιρεθῆναι τοὔνομα, ὃ βουλόμενος, καὶ οὐδ᾽ ὑφ᾽ ἑνὸς βιασθεὶς ἔθετο. οὐκ ἔγωγε ἡγοῦμαι. ἵνα τοίνυν εἰδῆτε, ὅτι οὐ μόνον εἰς τοὺς φράτορας οὕτως, ὡς μεμαρτύρηται, ὁ πατὴρ τὴν ἐγγραφὴν ἐποιήσατο, ἀλλὰ καὶ τὴν δεκάτην ἐμοὶ ποιῶν τοὔνομα τοῦτο ἔθετο· λάβε μοι καὶ ταύτην τὴν μαρτυρίαν.

Μαρτυρία.

C Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐγὼ μὲν ἦν ἐπὶ τοῦ ὀνόματος τούτου πάντα τὸν χρόνον· τουτονὶ δὲ Βοιωτὸν εἰς τοὺς φράτορας ἡνίκα ἠναγκάσθη, ἐνέγραψεν ὁ πατήρ. ἡδέως τοίνυν ἐροίμην ἂν αὐτὸν ἐναντίον ὑμῶν, εἰ μὴ ἐτελεύτησεν ὁ πατήρ· τί ἂν ἐποίεις πρὸς τοῖς δημόταις; οὐκ ἂν εἴας σεαυτὸν ἐγγράφειν Βοιωτόν; ἀλλ᾽ ἄτοπον δίκην μὲν λαγχάνειν *τούτου· κωλύειν δὲ πάλιν. καὶ μὴν, εἴγ᾽ εἴας αὐτὸν ἐνέγραψεν ἄν σε εἰς τοὺς δημότας, ὅπερ εἰς τοὺς φράτορας. οὐκοῦν δεινὸν, ὦ γῆ καὶ θεοί, φάσκειν μὲν ἐκεῖνον αὐτοῦ πατέρα εἶναι, τολμᾶν δὲ ἄκυρα ποιεῖν ἃ ἐκεῖνος ἔπραξε ζῶν. ἐτόλμα τοίνυν πρὸς τῷ διαιτητῇ πρᾶγμα ἀναιδέστατον λέγειν, ὡς ὁ πατὴρ αὐτοῦ δεκάτην ἐποίησεν ὥσπερ ἐμοῦ, καὶ τοὔνομα τοῦτο ἔθετο αὐτῷ, καὶ μάρτυράς τινας παρείχετο, οἷς οὐδὲ πώποτε ὁ πατὴρ ὤφθη χρώμενος. ἐγὼ δὲ οὐδένα ὑμῶν ἀγνοεῖν οἴομαι, ὅτι οὔτ᾽ ἂν ἐποίησε δεκάτην οὐδεὶς παιδίου, μὴ νομίζων αὐτοῦ δικαίως εἶναι, οὔτε ποιήσας καὶ στέρξας ὡς ἂν υἱόν τις στέρξαι, πάλιν ἔξαρνος ἐτόλμησε γενέσθαι. οὐδὲ γὰρ εἴ τι τῇ μητρὶ πρὸς ὀργὴν ἦλθε τῇ τούτων, τούτους γ᾽ ἂν ἐμίσει, νομίζων ἑαυτοῦ εἶναι.* πολὺ γὰρ μᾶλλον εἰώθασιν ὧν ἂν αὐτοῖς διενεχθῶσιν ἀνὴρ καὶ γυνὴ, διὰ τοὺς παῖδας διαλλάττεσθαι, ἢ δι᾽ ἃ ἂν ἀδικηθῶσιν ὑφ᾽ αὑτῶν, τοὺς κοινοὺς παῖδας προσμισεῖν. οὐ τοίνυν ἐκ τούτων ἐστὶν ἰδεῖν μόνον ὅτι ψεύσεται ταῦτ᾽ ἂν λέγῃ· ἀλλὰ πρὶν ἡμέτερος φάσκειν συγγενὴς εἶναι, εἰς Ἱπποθωντίδα ἐφοίτα φυλὴν, εἰς παῖδας χορεύσων. καίτοι τίς ἂν ὑμῶν οἴεται, τὴν μητέρα πέμψαι τοῦτον εἰς ταύτην τὴν φυλήν; δι᾽ ἣν μὲν ὥς φησιν ὑπὸ τοῦ πατρὸς πεπονθυῖαν, δεκάτην δ᾽ εἰδυῖαν πεποιηκότα ἐκεῖνον, καὶ πάλιν ἔξαρνον ὄντα;

ἐγὼ

ἐγὼ μὲν οὐδὲν ἂν οἶμαι. εἰς γὰρ τὴν Ἀκαμαντίδα ὁμοίως ἐξῆν σοι φοιτᾶν, καὶ ἐφαίνετ' ἂν οὖσα ἀκόλουθος ἡ φυλὴ τῇ θέσει τοῦ ὀνόματος. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, τούτων μάρτυρας ὑμῖν τοὺς συμφοιτῶντας, καὶ τοὺς εἰδότας παρέξομαι.

Μάρτυρες.

Οὕτω τοίνυν φανερῶς παρὰ τὸν τῆς αὑτοῦ μητρὸς ὅρκον, καὶ τὴν τοῦ δόντος ἐκείνῃ τὸν ὅρκον εὐήθειαν, πατρὸς τετυχηκώς, ἀντὶ Ἱπποθοωντίδος ἐν Ἀκαμαντίδι φυλῇ γεγονώς, οὐκ ἀγαπᾷ Βοιωτὸς τουτοισίν· ἀλλὰ καὶ δίκας ἐμοὶ δύ' ἢ τρεῖς εἴληχεν ἀργυρίου, πρὸς αἷς καὶ πρότερόν με ἐσυκοφάντει. καίτοι πάντας οἶμαι τοῦθ' ὑμᾶς εἰδέναι, τίς ἦν χρηματιστὴς ὁ πατήρ. ἐγὼ δ' ἐάσω ταῦτα. ἀλλ' εἰ δίκαια ὀμώμοκεν ἡ μήτηρ ἡ τούτων, ἐπ' αὐτοφώρῳ συκοφάντην ἐπιδείκνυμι τοῦτον ταῖς δίκαις ταύταις. εἰ γὰρ οὕτω δαπανηρὸς ἦν, ὥστε γάμῳ γεγαμηκὼς τὴν ἐμὴν μητέρα, ἑτέραν εἶχε γυναῖκα, ἧς ὑμεῖς ἐστε, καὶ δύ' οἰκίας ᾤκει, πῶς ἂν ἀργύριον τοιοῦτος ὢν κατέλιπεν; οὐκ ἀγνοῶ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Βοιωτὸς οὑτοσὶ δίκαιον μὲν οὐδὲν ἕξει λέγειν· ἥξει δ' ἐπὶ ταῦθ' ἅπερ ἀεὶ λέγει, ὡς ἐπηρεάζειν ὁ πατὴρ αὐτῷ, πειθόμενος ὑπ' ἐμοῦ. ἀξιοῖ δ' αὐτός, ὡς δὴ πρεσβύτερος ὤν, τοὔνομ' ἔχειν τὸ τοῦ πρὸς πατρὸς πάππου. πρὸς δὴ ταῦτα ἀκοῦσαι βέλτιον ὑμᾶς βραχέα. ἐγὼ γὰρ οἶδα τοῦτον ὅτε οὔπω συγγενὴς ἦν ἐμοί, ὁρῶν ὥσπερ ἂν ἄλλον τινά, οὑτοσὶ νεώτερον ὄντα ἐμοῦ, καὶ συχνῶς, ὅσα ἐξ ὄψεως. οὐ μὴν ἰσχυρίζομαι τούτῳ· καὶ γὰρ εὐήθες· ἀλλ' εἴ τις ἔροιτο Βοιωτὸν τουτονί, ὅτε ἐν Ἱπποθοωντίδι φυλῇ ἠξίου χορεύειν, οὔπω τοῦ πατρὸς εἶναι φάσκων τοῦ ἐμοῦ υἱός, τί ταῦτ' ἐμοὶ δικαίως ἂν θεὶς ὄνομα; εἰ γὰρ Μαντίθεον· οὐκ ἂν δήπου τοῦτό γε φαίης ὅτι πρεσβύτερος εἶ ἐμοῦ. ὃς γὰρ οὐδὲ τῆς φυλῆς τότε σοι προσήκειν ᾤου τῆς ἐμῆς· πῶς ἂν τοῦ γε πάππου τοῦ ἐμοῦ ἠμφισβήτεις; ἔτι δ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν τῶν ἐτῶν ἀριθμὸν οὐδεὶς οἶδεν ὑμῶν (ἐγὼ μὲν γὰρ ἐμοὶ πλείονα, οὗτος δ' ἑαυτῷ φήσει) τὸν δὲ τοῦ δικαίου λόγον ἅπαντες ἐπίστασθε. ἔστι δ' οὗτος τίς; ἀφ' οὗ παῖδας ἐποιήσατο τούτους ὁ πατήρ, ἀπὸ τούτου καὶ νομίζεσθαι. πρότερον τοίνυν ἐμὲ εἰς τοὺς δημότας ἐνέγραψε Μαντίθεον, πρὶν εἰσαγαγεῖν τοῦτον εἰς τοὺς φράτορας. ὥστ' οὐ τῷ χρόνῳ μόνον, ἀλλὰ καὶ τῷ δικαίῳ πρεσβεῖον ἔχοιμ' ἂν ἐγὼ τοὔνομα τοῦτο εἰκότως. εἶεν. εἰ δέ σε ἔροιτό τις, εἰπέ μοι Βοιωτέ, πόθεν νῦν ἐν Ἀκαμαντίδι φυλῇ γέγονας καὶ τὸν δῆμον Θορίκιος καὶ υἱὸς Μαντίου, καὶ τὸ μέρος τῶν ὑπ' ἐκείνου καταλειφθέντων ἔχεις; οὐδὲν ἂν ἄλλο ἔχοις εἰπεῖν, πλὴν ὅτι καὶ ἐμὲ ζῶν ἐποιήσατο Μαντίας. τί τεκμήριον εἴ τις σε ἔροιτο, ἢ μαρτύριον ἔστι σοι τούτου; εἰς τοὺς φράτοράς με εἰσήγαγε, φήσειας ἄν. τί οὖν σε ἐνέγραψεν ὄνομα; εἴ τις ἔροιτο, Βοιωτὸν ἂν εἴποις. τοῦτο γὰρ εἰσήχθης. οὐκοῦν δεινὸν εἰ τῆς μὲν πόλεως καὶ τῶν ὑπ' ἐκείνου καταλειφθέντων διὰ τοὔνομα τοῦτο μέτεστί σοι, τοῦτο δ' ἀξιοῖς ἀφεὶς ἕτερον μεταθέσθαι σαυτῷ. φέρ' εἴ σε ὁ πατὴρ ἀξιώσειεν ἀναστάς, ἢ μένειν ἐφ' οὗ σε αὐτὸς ἐποιήσατο ὀνόματος, ἢ πατέρ' ἄλλον σαυτοῦ φάσκειν εἶναι· ἆρ' οὐκ ἂν μέτρια ἀξιοῦν δοκοίη; ταὐτὰ τοίνυν ταῦτα ἐγώ σε ἀξιῶ, ἢ πατρὸς ἄλλου σαυτὸν παράγραφειν, ἢ τοὔνομα ἔχειν ὃ ἐκεῖνος ἔδωκέ σοι. νὴ Δί', ἀλλ' ὕβρει καὶ ἐπηρείᾳ τινὶ τοῦτο ἐτέθη σοι· ἀλλὰ πολλάκις μέν, ὅτε οὐκ ἐποιεῖτο ὁ πατὴρ τούτους, ἔλεγον οὗτοι, ὡς οὐκ ἦν χείρους εἰσὶν οἱ τῆς μητρὸς τῆς τούτου συγγενεῖς, τῶν τοῦ πατρὸς τοῦ ἐμοῦ. ἔστι δ' ὁ Βοιωτὸς ἀδελφοῦ τῆς τούτου μητρὸς ὄνομα. ἐπειδὴ δ' εἰσάγειν ὁ πατὴρ τούτους ἠναγκάζετο, ἐμοῦ προεισηγμένου Μαντιθέου, οὕτω τοῦτον εἰσάγει Βοιωτόν, τὸν ἀδελφὸν δὲ αὐτοῦ Πάμφιλον. ἐπεὶ σὺ δεῖξον ὅστις Ἀθηναίων ταὐτὸν ὄνομα τοῖς αὑτοῦ παισὶν ἔθετο δυοῖν. κἂν δείξῃς,

A Ego certè puto neminem. Nam Acamanteam æquè tibi frequentare licuiſſet, viſáque eſſet illa tribus cóſentanea nominis impoſitioni. Vt igitur hæc à me verè dici cõſtet, eorum vobis teſtes producam ſodales eius, & rei gnaros.

TESTES.

Quũ igitur ita palàm propter matris ſuę iuſiurandũ, & eius qui ei iuſiurandum dederat, ſimplicitatem, patrem nactus ſit, non in Hippothoontia, ſed in Acamantia tribunatus: non contentus eſt hiſce Bœotus, ſed iudicia duo aut tria pecuniaria mihi dictauit, præter ea quibus me prius calũniatus fuerat. Quanquam aũt vos omnes ſcire arbitror quàm pecuniæ faciendæ ſtudioſus pater meus fuerit: ego tamen id omittam. Sed ſi mater iſtorum verè iurauit: calũniatoré iſtum egiſſe in illis actionib. apertè oſtendam. Nam ſi ita ſumptuoſus fuit, vt legitimo matrimonio ductâ matre mea, aliã vxorẽ haberet, cuius vos eſtis, & binas familias aleret: quî potuit illis moribus pecuniã relinquere? Nõ ignoro aũt Atheniẽſes, Bœo-
B tũ nihil poſſe iuſti afferre: ſed ad ea vẽturũ, quę ſubinde inculcat, patrem à me impulſum, hoſtili fuiſſe in ſe odio: ſéque poſtulare, vt natu maioré, paterni aui nomé. Ad quę refutanda, vos pauca audire pręſtat. Ego ſcio me iſtum, antequã cognatus mihi fieret, ſi ita vt alius quiſpiã ex aſpectu iudicandus eſt, vidiſſe natu minoré, ídq; multò, nõ tamẽ hoc nitor, ineptũ .n. fuerit, ſed Bœotũ reget aliquis, cũ in Hippothoontię trib. cœtũ ſe ingereret. & nõdũ ſe mei patris diceret eſſe filium: quo idé mecũ nomẽ iure ſibi adſciuerit? Quod ſi Mantithei tibi nomẽ placebat: non propterea placuit, quòd eſſes me natu grãdior. Nã qui tũ ne tribum quidé meã ad te attinere putabas: quo pacto auũ tibi meũ vendicare potuiſti? Pręterea, veſtrũ Atheniẽſes numerũ annorũ nouit, nemo. Ego enim mihi, iſte ſibi plures eſſe dicet: ſed rationẽ iuſticię noſtis omnes. Ea verò quæ eſt? Ex quo tẽpore pater iſtos adoptauit: ab eo etiam filios exiſtimari. prius autem me apud municipes Mantitheum inſcripſit, quã iſtũ ad Curiales introduceret. Quare nõ ætate tantũ,
C ſed iure etiam ego nomẽ hoc prærogatiuæ loco meritò habuero. Quòd ſi quis te roget, Dic mihi Bœote, quî nunc in Acamantiã tribũ tranſlatus es, & municipiũ Thoriciũ, & factus Mantiæ filius, & portionem relictæ ab illo hæreditatis habes? nihil aliud reſpondere queas, niſi hoc: & me, dum viueret, Mãtias adoptauit. Quod argumentum, ſi quis te roget, aut teſtimonium eius rei tibi eſt? ad Curiales me introduxit, dices. Quo igitur te nomine inſcripſit, ſi quis roget, Bœoti reſpondebis. Eò enim introductus es. Iniquũ igitur eſt, te, qui ciuitate & relictis ab eo bonis propter iſtud nomen fruaris: eo repudiato, aliud tibi aſciſcere ſtudere. Age, ſi pater vitę reſtitutus, aut eo te quo adoptauit nomine cõtẽtum eſſe, aut alium tibi patrem quærere iuberet: nónne æquum poſtulare videretur? Eadẽ igitur illa ego à te poſtulo, vt aut alterius eſſe patris te profitearis: aut id nomen retineas quod ille tibi dedit. At Hercule cõtumelia quadá & inſectatione id tibi factũ eſt? Sed ſæpe, cùm pater iſtos adoptare nollet, dicebã iſti, matris ſuæ cognatos nihilò eſſe deteriores patris mei cognatis. Bœotus autem nomen eſt auũculo iſtius. Poſteaquam igitur pater introducere iſtos cogebatur: cùm ego te Mãtithei nomine introductus eſſẽ: ſic iſtum Bœoti, fratrẽ eius Pãphili nomine introducit. Tu verò oſtẽde quẽquam Atheniẽſium, qui duobus ſuis filiis idem nomẽ impoſuerit. Quod ſi oſtẽderis:

Non ſi natu maior Bœotus, ideo etiam Mantitheus vocandus.

Bœoti nomen nõ eſſe contumelioſum: eiuſdémq; à ſimultatib. dehortatio.

ego concedam, patrem iſtud tibi nomen per contemptũ indidiſſe. Quanquam ſi talis eras, vt adoptari te cogeres: quo aũt pacto ei placeres, non cogitares: ignoro, qualem oporteat eſſe germanum filium erga parentes. Quod ſi germanus non eras: non modò iure contemptus eſſes: ſed etiam periiſſes. alioqui eſſet indignum, cùm leges de parentibus latæ, in filios à patre agnitos valeant: eaſdem in eos, qui inuitos ad ſe adoptandos cogunt, nõ valere. Sed ô moleſtiſſime Bœote, in primis ab omnib. quæ factitas deſiſtito. Quod ſi omnino non vis: in eo ſaltem, obſecro te, obtemperato: Deſine tibi ipſi faceſſere negocium: deſine me calumniari: contentus eſto ciuitate, opibus, patre inuentis. Nemo te hiſce pellit. Ego certè non. Sed ſi, vt profiteris, frater es: ſi & fratris fungêre officiis, cognatus eſſe videberis. Sin aũt inſidiaris, litigas, inuides, maledicis: videberis in aliena incidiſſe, eiſque ſic vti, vt quæ ad te nihil attineant. Nã ego quidem, vt maximè te pater, cùm ſuus eſſes, non adoptaret, iniuriam tibi non facio. Nec enim me exquirere decet, qui ſint illius filij: ſed illum oſtendere decuit, qui mihi pro fratribus habẽdi eſſent. Quo igitur tempore te nõ adoptarat: neque ego te ad me attinere putabam. Poſtquam autẽ adoptauit: & ego te agnoſco. Quo ſigno? Patrimonij portionem habes poſt obitum patris, & in ſacrorum & profanorum ſocietatem veniſti. Iſtis nemo te expellit. quid requiris? Si verò iniquè ſecum agi dixerit, ſi fleuerit & eiularit, méq; accuſarit: verbis eius nolite credere. neque enim æquum eſt, cum nunc ea res non agatur: ſed illud exiſtimate, poſſe nihil ominus eum, ſi Bœotus vocetur, pœnas à me ſumere. Quid igitur contendis? Ne feceris: ne ita ſtudioſè noſtras inimicitias expetieris. Neque enim ego tuas expeto. Nam etiã nunc, ne te hoc prætereat, me tuam agere cauſam potius profiteor quàm meam, dum id ago, ne idem vterque nomen habeamus. Vt enim nihil aliud, illud certè fieri neceſſe eſt, vt qui audierit, quærat, vtrum? ſi duo fuerint Mantithei Mantiæ filij. Proinde, cum te dicet, eũ inquiet, quẽ adoptare coactus eſt. Quid igitur hæc expetis? Cape duo iſta teſtimonia, & recita vnde conſtabit, patrẽ mihi Mantithei, & iſti Bœoti nomen impoſuiſſe.

TESTIMONIA.

Ipſum Bœoti nomen agnouiſſe.

Hoc reſtare cenſeo, vobis vt oſtẽdatur, Iudices, vos nõ modò religioni veſtrę cõſulturos, ſi ea quę ego dico decreueritis: ſed iſtum ipſum etiam ſuopte iudicio Bœoti nomen, non Mantithei habere oportere. Nam cùm ego iudicium hoc dictaſſem Bœoto Mantiæ F. Thoricio: & ſtatim reſpondit & calũniam iurauit: ſe eſſe Bœotum profitens: denique cum tergiuerſari diutius non liceret, ſe abſentem damnari ab arbitro paſſus, quid obſecro facit? diem viciſſim mihi dicit, iudicium eſſe nullum, is qui ſe antè Bœotum nominarat. Atqui eum ab initio *contra Bœotum pronunciari iudicium, pati, (ſiquidem id nomen nihil ad ipſum attinebat) & non pòſt diem viciſſim dicere de nullo iudicio, oportebat. Qui igitur ipſe Bœotum iurè eſſe ſe pronunciauit: quid à vobis iuratis iudicibus pronunciari poſtulabit? Vt autem hæc à me verè dici conſtet, cape reſortitionem, & accuſationem hanc.

RESORTITIO. ACCVSATIO

Quod ſi iſte legẽ oſtendere poterit, quæ filiis ſuorũ nominũ poteſtatẽ dat: id quod iſte nunc dicit, rectè cõprobabitis. Sin lex, quam omnes noſtis æquè mecum, in parentes autoritatem confert, nõ modò imponendi nominis, ſed & rurſus delẽdi, ſi voluerint,

A ἐγὼ συγχωρήσω δ' ἐπήρειαν σοι τοῦτο τοὔνομα θέσθαι τὸν πατέρα. καίτοι εἴ γε τοιοῦτος ἦσθα, ὥστε ποιήσασθαι μὲν σαυτὸν ἀναγκάζειν, ἐξ ὅτου δ' ἀρέσεις ἐκείνῳ τρόπου μὴ σκοπεῖν. οὐκ οἶδα οἷον δεῖ τὸν προσήκοντα εἶναι περὶ τοὺς γονέας. οὐκ ὢν δ', οὐκ ἐπηρεάζου δικαίως ἄν, ἀλλ' ἀπολάλεις. ἢ δεινόν γ' ἂν εἴη, εἰ κατὰ μὲν τῶν ὑπὸ τοῦ πατρὸς αὐτοῦ νομιζομένων παίδων, οἱ περὶ τῶν γονέων ἰσχύουσι νόμοι, κατὰ δὲ τῶν αὐτοὺς εἰσβιαζομένων ἄκοντας ποιεῖσθαι, ἄκυροι γενήσονται. ἀλλ' ὦ χαλεπώτατε Βοιωτέ, μάλιστα μὲν ὧν πράττεις, πάντων παῦσαι· εἰ δ' ἄρα μὴ βούλει, ἐκεῖνό γε πρὸς Διὸς πείθου. παῦσαι μὲν σαυτῷ παρέχων πράγματα· παῦσαι δ' ἐμὲ συκοφαντῶν· ἀγάπα δ' ὅτι σοι πόλις, οὐσία, πατὴρ γέγονεν. οὐδεὶς ἀπελαύνει σε ἀπὸ τούτων. οὐκοῦν ἔγωγε. ἀλλ' ἐὰν μὲν, ὥσπερ εἶναι φὴς ἀδελφὸς, καὶ τὰ ἔργα ἀδελφοῦ ποιῇς, δόξεις εἶναι συγγενής. ἐὰν δ' ἐπιβουλεύῃς, δικάζῃ, φθονῇς, βλασφημῇς, δόξεις εἰς ἀλ-

B λότρια ἐμπεσὼν, ὡς οὐ προσήκουσιν οὕτω χρῆσθαι. ἐπεὶ ἔγωγε οὐδ' εἰ τὰ μάλιστα ὁ πατὴρ ὄντα σεαυτοῦ μὴ ἐποιεῖτο, οὐκ ἀδικῶ. οὐ γὰρ ἔμοιγε προσῆκεν εἰδέναι, τίνες εἰσὶν υἱεῖς ἐκείνου· ἀλλ' ἐκείνῳ δεῖξαι τίνας μοι νομιστέον ἐς ἀδελφούς. ὃν μὲν τοίνυν οὐκ ἐποιεῖτό σε χρόνον, οὐδ' ἐγὼ προσήκοντα ἡγούμην. ἐπεὶ δ' ἐποιήσατο· κἀγὼ νομίζω. τί τούτου σημεῖον; τῶν πατρῴων ἔχεις τὸ μέρος μετὰ τὴν τοῦ πατρὸς τελευτήν· ἱερῶν ὁσίων μετέχεις· ἀπάγει σε οὐδεὶς ἀπὸ τούτων· τί βούλει; ἂν δὲ φῇ δεινὰ πάσχειν, καὶ κλάῃ, καὶ ὀδύρηται, καὶ κατηγορῇ ἐμοῦ· ἃ μὲν ἂν λέγῃ, μὴ πιστεύετε (οὐ γὰρ δίκαιον, μὴ περὶ τούτων ὄντος τοῦ λόγου τοῦ νυνὶ) ἐκεῖνο δ' ὑπολαμβάνετε, ὅτι οὐδὲν ἧττον ἔστ' αὐτῷ δίκην λαμβάνειν Βοιωτῷ κληθέντι. τί οὖν φιλονεικεῖς; μηδαμῶς· μὴ ἔχε οὕτω πρὸς ἡμᾶς ἐθελέχθρως. οὐδὲ γὰρ ἔγωγε πρὸς σέ. ἐπεὶ καὶ νῦν (ἵνα μηδὲ τοῦτο λάθῃ σε) ὑπὲρ σοῦ λέγων μᾶλλον ἀξιῶ, μὴ ταὐτὸν ἔχειν ὄνομα ἡμᾶς, ἢ ἐμαυτοῦ. εἰ γὰρ μηδὲν ἄλλο, ἀνάγκη τὸν ἀκούσαντα ἐρέσθαι, πότερον, δύ' ἂν ὦσι Μαντίθεοι Μαντίου; οὐκοῦν ὃν ἠνάγκα-

C σθη ποιήσασθαι, σὲ ἐὰν λέγῃ, ἐρεῖ. τί οὖν ἐπιθυμεῖς τούτων; ἀνάγνωθι δέ μοι λαβὼν δύο ταυτασὶ μαρτυρίας, ὡς ἐμοὶ Μαντίθεον, καὶ τούτῳ Βοιωτὸν ὁ πατὴρ ὄνομα ἔθετο.

Μαρτυρίαι.

Λοιπὸν ἡγοῦμαι τοῦθ' ὑμῖν ἐπιδεῖξαι, ὦ ἄνδρες δικασταί, ὡς οὐ μόνον εὐορκήσετε ἂν ἃ ἐγὼ λέγω, ψηφίσεσθε, ἀλλὰ καὶ ὡς οὗτος αὐτοῦ κατέγνω Βοιωτὸν, ἀλλ' οὐ Μαντίθεον ὄνομα δικαίως ἂν ἔχειν. λαχόντος γὰρ ἐμοῦ τὴν δίκην ταύτην Βοιωτῷ Μαντίου Θορικίῳ, ἐξ ἀρχῆς τ' ἠντιδίκει, καὶ ὑπωμνύτο ὡς ὢν Βοιωτός. καὶ τὸ τελευταῖον ἐπεὶ οὐκέτ' ἐνῆν αὐτῷ διακρούεσθαι, ἐρήμην ἐάσας καταδιαιτήσασθαι, πρὸς θεῶν τί ἐποίησεν; ἀντιλαγχάνει μοι τὴν μὴ οὖσαν, ὁ πρότερον ἑαυτὸν Βοιωτὸν προσαγορεύσας. καίτοι ἐξ ἀρχῆς ἔδει αὐτὸν ἐᾶν τελέσασθαι τὴν δίκην κατὰ Βοιωτοῦ, εἴπερ μηδὲν προσῆκεν αὐτῷ τοῦ ὀνόματος, ὕστερόν τε μὴ αὐτὸν φαίνεσθαι ἐπὶ τῷ ὀνόματι τούτῳ ἀντιλαγχάνοντα τὴν μὴ οὖσαν. ὅς οὖν αὐτὸς αὐτοῦ κατέγνω δικαίως εἶναι Βοιωτός; τί ὑμᾶς ἀξιώσει τοὺς ὀμωμοκότας ψηφίζεσθαι; ὡς δὲ ταῦτ' ἀληθῆ λέγω· λάβε μοι τὴν ἀντίληξιν, καὶ τὸ ἔγκλημα τουτί.

Ἀντίληξις. Ἔγκλημα.

Εἰ μὲν τοίνυν οὗτος ἔχει δεῖξαι νόμον, ὃς ποιεῖ κυρίους *εἶναι τοὺς παῖδας τοῦ ἑαυτοῦ ὀνόματος, ἃ λέγει νῦν οὗτος· ὀρθῶς ἂν ψηφίζοισθε. εἰ δ' ὁ μὲν νόμος, ὃν πάντες ἐπίστασθε, ὁμοίως ἐμοὶ, τοὺς γονέας ποιεῖ κυρίους οὐ μόνον θέσθαι τοὔνομα ἐξ ἀρχῆς, ἀλλὰ καὶ πάλιν ἐξαλεῖψαι,

ἐὰν

ἐὰν βούλωνται, καὶ ἀποκηρύξαι. ἐπέδειξα δ᾽ ἐγὼ τὸν A πατέρα ὃς κύριος ἦν ἐκ τοῦ νόμου, τούτῳ μὲν Βοιωτόν, ἐμοὶ δὲ Μαντίθεον θέμενον· πῶς ὑμῖν ἐστὶν ἄλλο τι πλὴν ἃ ἐγὼ λέγω ψηφίσασθαι; ἀλλὰ μὴν ὧν γ᾽ ἂν μὴ ὦσι νόμοι, * ἀλλὰ γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὀμωμόκατε. ὥστ᾽ εἰ μηδεὶς ἦν περὶ τούτων κείμενος, κἂν οὕτω δικαίως πρὸς ἐμοῦ τὴν ψῆφον ἔθεσθε. τίς γάρ ἐστιν ὑμῶν, ὅς τις ταὐτὸν ὄνομα τοῖς αὑτοῦ παισὶ τέθειται δυοῖν οὖσι; τίς δ᾽ ᾧ μή πω παῖδές εἰσι, θήσεται; οὐδεὶς δήπου. οὐκοῦν ὃ δίκαιον τῇ γνώμῃ τοῖς ὑμετέροις αὐτῶν παισὶν ὑπειλήφατε, τοῦτο καὶ περὶ ὑμῶν εὐσεβὲς γνῶναι. ὥστε καὶ κατὰ τὴν δικαιοτάτην γνώμην, καὶ κατὰ τοὺς νόμους, καὶ κατὰ τοὺς ὅρκους, * καὶ κατὰ τὴν τούτου προσομολογίαν, ἐγὼ μὲν μέτρια ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, δέομαι, καὶ δίκαια ἀξιῶ. οὗτος δ᾽ οὐ μόνον οὐ μέτρια, ἀλλ᾽ οὐδ᾽ εἰωθότα γίγνεσθαι.

B

ΥΠΟΘΕΣΙΣ ΠΡΟΣ ΒΟΙΩ-τὸν ὑπὲρ προικὸς μητρῴας λόγου.

ΚΑΙ οὗτος ὑπὸ τοῦ αὐτοῦ καὶ πρὸς τὸν αὐτὸν ὁ λόγος εἴρηται, καὶ τὰ μὲν ἄλλα πάντα ταὐτά, ἡ πλαγγών, ὁ ὅρκος ἡ τῶν παίδων ἀναγκαία ποίησις. ἀποθανόντος δὲ τοῦ μαντίου, οἱ παῖδες, ὄντες τρεῖς, μαντίθεος ὁ ἐκ τῆς νόμῳ γαμηθείσης, καὶ βοιωτὸς, καὶ πάμφιλος οἱ ἐκ τῆς πλαγγόνος, ἐνέμοντο τὴν οὐσίαν. φάσκοντος δὲ τοῦ μαντιθέου προῖκα ἑαυτῷ μητρῴαν ὀφείλεσθαι, βοιωτὸς καὶ πάμφιλος, καὶ αὐτοὶ προικὸς ἠμφισβήτουν. ὡς καὶ τῆς πλαγγόνος εἰσενεγκαμένης εἰς τὸν οἶκον τοῦ μαντίου μνᾶς ἑκατόν. συνέδοξεν οὖν αὐτοῖς νείμασθαι πάντα ἐπ᾽ ἴσης, πλὴν τῆς οἰκίας· ἵν᾽ ὁποτέροις ἂν ἡ μήτηρ φανῇ προῖκα εἰσενεγκαμένη, τούτοις ἀπὸ τῆς οἰκίας ἀποδοθῇ τὸ ἀργύριον· καὶ πλὴν τῶν ἀνδραπόδων· ὅπως οἱ περὶ τὸν βοιωτὸν ἐὰν ἐπιζητῶσί τι τῶν ἔνδον, ἔχωσιν ἔλεγχον. μετὰ ταῦτα ἀντενεγκάλεσαν ἀλλήλοις, ὁ μὲν μαντίθεος, ὑπὲρ τῆς μητρῴας οὐσίας· ἐκεῖνοι, δὲ ὑπὲρ ἄλλων τινῶν. καὶ ὁ διαιτητὴς μαντιθέου μὲν ἀπεδιαίτησε, βοιωτοῦ δὲ κατεδιαίτησεν ἐρήμην. λαγχάνει δὲ μαντίθεος καὶ εἰς τὸ δικαστήριον αὐτῷ τὴν αὐτὴν δίκην, ἀπαιτῶν τὴν προῖκα. C

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΡΟΣ ΒΟΙΩΤΟΝ ὑπὲρ προικὸς μητρῴας λόγος.

ΠΑΝΤΩΝ ἐστὶν ἀνιαρώτατον, ὦ ἄνδρες δικασταί, ὅταν τις ὀνόματι μὲν ἀδελφὸς προσαγορευθῇ τινων, τῷ δ᾽ ἔργῳ ἐχθροὺς ἔχῃ τούτους, καὶ ἀναγκάζηται πολλὰ καὶ δεινὰ παθὼν ὑπ᾽ αὐτῶν, εἰσιέναι εἰς δικαστήριον· ὃ νῦν ἐμοὶ συμβέβηκεν. οὐ γὰρ μόνον ἀτύχημά μοι ἐξ ἀρχῆς ἐγένετο, διότι πλαγγὼν ἡ τούτων μήτηρ ἐξαπατήσασα τὸν πατέρα μου, καὶ ἐπιορκήσασα φανερῶς, ἠνάγκασεν αὐτὸν * ὑπομεῖναι τούτους ποιήσασθαι, καὶ διὰ τοῦτο τὰ δύο μέρη τῶν πατρῴων ἀπεστερήθην, ἀλλὰ πρὸς τούτοις ἐξελήλαμαι μὲν ἐκ τῆς πατρῴας οἰκίας ὑπὸ τούτων, ἐν ᾗ καὶ ἐγενόμην καὶ ἐτράφην, καὶ εἰς ἣν οὐχ ὁ πατὴρ αὐτούς, ἀλλ᾽ ἐγώ, τελευτήσαντος ἐκείνου παρεδεξάμην. ἀποστεροῦμαι δὲ τὴν προῖκα τῆς ἐμαυτοῦ μητρός, περὶ ἧς νυνὶ δικάζομαι· αὐτὸς μὲν τούτοις δίκας, ὑπὲρ ὧν ἐνεκάλουν μὴ πάντων δεδωκώς, πλὴν εἴ τινα νῦν ἕνεκα τῆς δίκης ταύτης ἀντειλήχασί μοι συκοφαντοῦντες, ὡς ὑμῖν ἔσται καταφανές. παρὰ δὲ τούτοιν ἐν ἕνδεκα ἔτεσιν οὐ δυνάμενος τυχεῖν τῶν μετρίων, ἀλλὰ νῦν εἰς ὑμᾶς καταπεφευγώς. δέομαι γοῦν ἁπάντων ὑμῶν, ὦ ἄνδρες δικασταί, μετ᾽ εὐνοίας τέ μου ἀκοῦσαι, ἔπειθ᾽ ὅπως ἂν δυνώ-

A & abdicandi, egóque oſtendi, patrem, cui lege poteſtas ea dabatur, iſti Bœoti, mihi verò Mantithei feciſſe nomen: quî vos poteſtis alia, quàm quæ ego dico, pronunciare? Præterea, quarum rerum nullæ extent leges, de iis vos ex æquo & bono ſuffragia laturos iuraſtis. Proinde, ſi nulla eſſet hac de re lata lex: etiam tum iurê pro me ſententiam ferretis. Quis enim veſtrûm eſt, qui duobus filiis, idem nomen impoſuerit? Quis verò, cui nõdum liberi ſunt, imponet? Nemo profectò. Quod igitur apud vos veſtris liberis eſſe æquum ſtatuitis, iidem etiam de nobis pronunciare fuerit religioſum. Quare ex æquo & bono, ex legibus, è iureiurando, ex iſtius ipſius confeſſione: egò quidem æqua à vobis oro, & iuſta peto: iſte verò non ſolum non æqua, ſed etiam inuſitata.

ARGVMENTVM ORATIONIS ADuerſus Bœotum, de dote materna.

B

ETiam hæc & ab eodem, & contra eundem dicta eſt Oratio. Ac cætera quidem omnia ſunt eadem: Plango, iuſiurandum, filiorum coacta adoptio. Defuncto autem Mantia, filij eius tres, Mantitheus è legitima vxore ſuſceptus, & Bœotus ac Pamphilus Plangonis filij, hæreditatem diuiſerunt. Aſſerente autem Mantitheo, dotem ſibi maternam deberi: Bœotus ac Pamphilus, & ipſi de dote contendunt, quaſi Plango etiam in Mantiæ familiam centum minas contuliſſet. Conuenit igitur inter eos, ex æquo omnia partienda eſſe, præter ædes: vt vtri parti mater attuliſſe dotem probaretur, ei de ædibus illa pecunia redderetur: & præter mancipia: vt Bœotus cum fratre, ſi quid domeſticum requirerent quo coarguerent. Poſt hæc ſe mutuò accuſant, Mantitheus illos de maternis facultatibus, illi hunc de aliis quibuſdam rebus. Ac arbiter Mantitheum abſoluit, Bœotum condemnat abſentem. Quem eadem actione Mantitheus in iudicium vocat, dotem maternam repetens.

C DEMOSHTENIS IN BOEOTVM DE DOTE materna Oratio, Hieronymo Vuolfio interprete.

OMNIVM moleſtiſſimum eſt, Iudices, cùm quis nomine frater eorum appellatur, quos ipſa re hoſtes habet: & multis magníſque affectus ab eis iniuriis, in iudicium venire cogitur: id quod mihi nunc vſuuenit. Neque enim ea ſolum ab initio calamitas mihi accidit, vt Plãgo, iſtorum mater, patrem meũ manifeſto periurio deceptum ad iſtos adoptandos adegerit, egóque propterea duabus patrimonij partibus ſim fraudatus: ſed præter hæc etiam paternis ædibus ab iſtis exactus, in quibus & natus ſum & educatus: & in quas non pater eos, ſed ego, defuncto illo, recepi: fraudor etiam dotẽ materna, de qua nunc ago: cum ego eis de omnibus quæ querebantur, ſatisfecerim, præterquam, ſi qua nunc, propter iudicium hoc reſortitione inſtituta per calumniam poſtulant: vt vobis declarabitur. Ab iſtis autem cùm vndecim annis nihil æqui potuerim impetrare: nunc ad vos confugio, atque omnes vos oro, Iudices, vt me benignè ſic vt potero dicẽtem, au- Querela de fratris iniuriis.